ΙΩΝ. ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα.
ΠΥ. λαβὼν νυν αὐτὰ τὴν τεκοῦσαν ἐκπόνει.
ΙΩΝ. πᾶσαν δ' ἐπελθὼν Ἀσίαν Εὐρώπης θ' ὅρους;
ΠΥ. γνώσει τάδ' αὐτός. τοῦ θεοῦ δ' ἕκατί σε
ἔθρεψά τ', ὦ παῖ, καὶ τάδ' ἀποδίδωμί σοι,
ἃ κεῖνος ἀκέλευστόν μ' ἐβουλήθη λαβεῖν
σῷσαί θ'· ὅτου δ' ἐβούλεθ' οὕνεκ', οὐκ ἔχω λέγειν.
ᾔδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε
ἔχοντας ἡμᾶς, οὐδ' ἵν' ἦν κεκρυμμένα.
καὶ χαῖρ'· ἴσον γάρ σ' ὡς τεκοῦσ' ἀσπάζομαι.
ἄρξαι δ' ὅθεν σὴν μητέρα ζητεῖν σε χρή·
πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε
εἰς τούσδε ναοὺς ἐξέθηκε παρθένος,
ἔπειτα δ' εἴ τις Ἑλλάς· ἐξ ἡμῶν δ' ἔχεις
ἅπαντα Φοίβου θ', ὃς μετέσχε τῆς τύχης.
ΙΩΝ. φεῦ φεῦ· κατ' ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,
ἐκεῖσε τὸν νοῦν δούς, ὅθ' ἡ τεκοῦσά με
κρυφαῖα νυμφευθεῖσ' ἀπημπόλα λάθρᾳ
καὶ μαστὸν οὐχ ὑπέσχεν· ἀλλ' ἀνώνυμος
ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.
τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος
βαρέα· χρόνον γὰρ ὅν μ' ἐχρῆν ἐν ἀγκάλαις
μητρὸς τρυφῆσαι καί τι τερφθῆναι βίου,
ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.
τλήμων δὲ χἡ τεκοῦσά μ'· ὡς ταὐτὸν πάθος
πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.
καὶ νῦν λαβὼν τήνδ' ἀντίπηγ' οἴσω θεῷ
ἀνάθημ', ἵν' εὕρω μηδὲν ὧν οὐ βούλομαι.
εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,
εὑρεῖν κάκιον μητέρ' ἢ σιγῶντ' ἐᾶν.
ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς.
καίτοι τί πάσχω; τοῦ θεοῦ προθυμίᾳ

1356. Pythiae continuant libri. 1364. ζητεῖν σε ζητεῖσθαι B ζητεῖσθαι C
1378. δὲ χἡ] Schaeferus, δέ θ' ἡ libri. 1380. οἴσω] Brodaeus, οἶσον libri. 1381. μηθέν libri.